ἄρχεται. τὸ δὲ μέτρον ἐστὶ καταληκτικὸν ἀναπαιστικὸν δίμετρον. κώλων ιδ. ὧν τὰ ιβ. δίμετρα ἀκατάληκτα. τὸ ιγ ἀναπαιστικὴ βάσις. ἤτοι μονόμετρον ἀκατάληκτον παρατέλευτον. τὸ δὲ τελευταῖον ἑφθημιμερές. ὑφ' ὃ αἱ συνήθεις διπλαῖ. ἑξῆς δὲ κώλων ἰαμβικὸν μονόμετρον καταληκτικὸν μεθ' ὃ τρίμετρα ἀκατάληκτα ὧν ἐπὶ τῷ τέλει παράγραφος. Πολύδακρυν Ἴτυν.] τὸν Ἴτυν διακόψασα παρέθηκε τῷ πατρὶ πρὸ τῆς ἀπορνεώσεως. ἄλλως. ἐπεὶ ὁ Ἴτυς υἱὸς ἦν Τηρέως καὶ Πρόκνης τῆς αὐτοῦ γαμετῆς. Πανδίων γὰρ ὁ τῶν Ἀθηναίων βασιλεὺς Πρόκνην τὴν ἑαυτοῦ θυγατέρα εἰς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρακῶν δυναστεύοντι. ὁ δὲ μετὰ τοὺς γάμους ἀφικνεῖται πρὸς Θρᾴκην μετὰ Πρόκνης ἐξ ἧς ἔσχεν Ἴτυν. μετὰ δὲ χρόνον συχνὸν ποθούσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης ἰδεῖν, ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν καὶ λαβὼν, καθ' ὁδὸν αὐτὴν διεκόρευσε, καὶ τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν μὴ δηλαθεῖεν τὰ πραχθέντα τῇ Πρόκνῃ. οὐ μὴν ἀλλ' ὑφαίνουσα διὰ γραμμάτων ἐδήλωσε τὸ συμβάν. Πρόκνη μὲν οὖν

A μαθοῦσα τὴν συμφορὰν, σφάξασα τὸν υἱὸν Ἴτυν εἰς βρῶσιν παρέθηκε τῷ Τηρεῖ. ὁ δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει ποῦ ποῦ φθεγγόμενος. Φιλομήλα μὲν δὴ Τηρεὺς ἦν βοῶσα τῷ φόβῳ. Πρόκνη δὲ τὸν Ἴτυν θρηνοῦσα, ἴτυ ἴτυ ἐλεεινῶς ἐφθέγγετο. τοῦ δὲ Διὸς ἐλεοῦντος ἡ μὲν Πρόκνη εἰς ἀηδόνα, ἡ δὲ Φιλομήλα εἰς Χελιδόνα μεταβληθῆναι, ἔτι γε μὴν καὶ ὁ Τηρεὺς εἰς Ἔποπα ταῦτα φθέγγονται μέχρι καὶ νῦν ἕκαστος, ἅ γε συνέβη μετὰ τὴν συμφορὰν πρὸ τῆς ἀπορνεώσεως. ἐλελιζομένη δὲ, θρηνοῦσα. διεροῖς δὲ, δύγροις ἐκ τῶν δακρύων. μίλαξ δὲ εἶδος βοτάνης. Ἠχώ.]

B ἡ ἱερὰ ἠχὼ ἀνέρχεται. τὸ δὲ χωρεῖ, ἀντὶ τοῦ χωρήσει. Τοῖς σοῖς ἐλέγοις.] ἀντὶ τοῦ τοῖς θρήνοις. εἴρηται δὲ, ἀπὸ τοῦ ἒ ἒ λέγειν. Δίδυμος δέ φησιν, ὅτι οἱ πρὸς αὐλὸν ᾀδόμενοι θρῆνοι. τὸν γὰρ αὐλὸν πένθιμον ὑπειλῆφθαι. Ἀντιψάλλων] ἀντὶ τοῦ ἀνακρούων. ψαλμὸς δὲ κυρίως, ὁ τῆς κιθάρας ἦχος. Αὐλεῖ.] τοῦτο παρεπιγέγραπται δηλοῦν, ὅτι μιμεῖται τις τὴν ἀηδόνα ὡς ἔτι ἔνδον οὖσαν ἐν τῇ λόχμῃ. κατεμελίτωσεν. ἡδύτητος ἐπλήρωσεν.

C

## ΣΥΣΤΗΜΑ κατὰ περικοπήν.

Εὐ. Ὦ Ζεῦ βασιλεῦ τοῦ φθέγματος τοὐρνιθίου.
Οἷον κατεμελίτωσε τὴν λόχμην ὅλην.
Πι. Οὗτος. Εὐ. τί ἔστιν; Πι. οὐ σιωπήσει; Εὐ. τί δαί;
Πι. Οὔποψ μελῳδεῖν αὖ παρασκευάζεται.

## Constitutio per circuncisionem.

Ev. O Iupiter rex voce auis,
*Qualiter dulcificauit syluam totam.*
Pi. *Hic.* Ev. *Quid est?* Pi. *Non tacebis?* Ev. *Quid autem?*
Pi. *Epops canere rursus præparatur.*

D

Σχόλια. Οὐ σιωπήσει.] πρὸς ἀλλήλους διαλέγονται.

## ΩΔΗ κώλων ι.

Επ. Ἐποποῖ. ποποῖ. ποποῖ. ποποῖ.
Ἰὼ ἰώ. ἰτώ. ἰτώ. ἰτώ. ἰτώ.
Ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων.
Ὅσοι τ' εὐσπόρους ἀγρῶν γύας
Νέμεσθε, φῦλα μυρία κριθοτράγων
Σπερμολόγων τε γένη ταχὺ πετόμενα.
Μαλθακὴν ἱέντα γῆρυν.
Ὅσα τ' ἐν ἄλοκι θαμὰ βῶλον,
Ἀμφιτιττυβίζεθ' ὧδε
Λεπτὸν ἡδομένα φωνᾷ.

## Cantus membrorum decem.

Ep. *Epopoe, popopo, popoe, popoe.*
*Io, io, ito, ito, ito, ito, ito:*
E *Eat aliquis huc meorum simul volatilium.*
*Quique bene seminatas agrorum vias*
*Pascitis tribus multæ hordiphagorum,*
*Seminilegorumque genera citò volantia*
*Mollem mittentia vocem.*
*Quique in sulco frequenter glebas*
*Circuncanitis huc*
*Subtile lætantes voce.*

F

Σχόλια. Ἐποποῖ ποποποῖ] ἔκθεσις μέλους ἑτέρου περιοδικὴ, εἰς τέσσαρας στροφὰς διαιροῦσα τὰς περιόδους. ὧν ἡ πρώτη στροφὴ κώλων ι. ὧν τὸ α' ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἔχον τὸν α' πόδα ἀνάπαιστον. τὸ δὲ β τετράβραχυν, ἑξῆς δύο καὶ τὸ ε' τρίμετρα ἀκατάληκτα. τὸ δὲ δίμετρον. τὸ ς' ἀναπαιστικὸν ὁμοίως κατὰ τὴν τετάρτην χώραν προκελευσματικὸν ἔχον. τὰ ἑξῆς τροχαϊκὰ δίμετρα πλὴν τοῦ τελευταίου καταληκτικά. τὸ δὲ ἐποποῖ, καὶ τὰ τοιαῦτα δεῖ ὀξυτόνως προφέρεσθαι ὥστε ἦχον ὀρνέου προφέρεσθαι κατὰ μίμησιν. Ἰὼ ἰτὼ ἰτώ.] προσκαλεῖται τοὺς ὄρνιθας, ἵνα συμβουλεύσῃ τὴν πόλιν κτίσαι. τὸ δὲ ὅλον εὐκαίρως ὁ ποιητὴς βούλεται τὸν χορὸν εἰσάξαι τῶν ὀρνέων. Κριθοτράγων.] κριθοφάγων. κοινῶς δὲ ἐπεὶ οὐ πᾶν ὄρνεον κριθὰς ἐσθίει. Ὅσα τ' ἐν ἄλοκι.] ἐν τῇ τομῇ τοῦ ἀρότρου. ἀντὶ τοῦ περὶ τὴν βῶλον τῆς αὔλακος. Ἀμφιτιττυβίζετε.] ποιὸν μέλος ἀποτελεῖτε.

G

## ΕΤΕΡΑ ΣΤΡΟΦΗ ΚΑΙ ΩΔΗ κώλων ιγ.

Τιό. τιό. τιό. τιό. τιό. τιό. τιό. τιό.

## Altera versio et cantus *membrorum tredecim.*

*Tio, tio, tio, tio, tio, tio, tio, tio,*